Burton & Goodspeed # 33: The Fame of Jesus

| Matthew 12:15-21 | Mark 3:7-12 |
|---|---|
| **Matthew 12:15** | **Mark 3:7** |
| Ὁ δὲ Ἰησοῦς γνοὺς | Καὶ ὁ Ἰησοῦς |
| | μετὰ τῶν μαθητῶν αὐτοῦ |
| ἀνεχώρησεν ἐκεῖθεν. | ἀνεχώρησεν πρὸς τὴν θάλασσαν, |
| καὶ ἠκολούθησαν αὐτῷ [ὄχλοι] πολλοί, | καὶ |
| | πολὺ πλῆθος |
| | ἀπὸ τῆς Γαλιλαίας |
| | [ἠκολούθησεν], καὶ ἀπὸ τῆς Ἰουδαίας |
| | **8** καὶ ἀπὸ Ἱεροσολύμων καὶ ἀπὸ τῆς |
| | Ἰδουμαίας καὶ πέραν τοῦ Ἰορδάνου καὶ |
| | περὶ Τύρον καὶ Σιδῶνα, πλῆθος πολὺ |
| | ἀκούοντες ὅσα ἐποίει ἦλθον πρὸς αὐτόν. |
| | **9** καὶ εἶπεν τοῖς μαθηταῖς αὐτοῦ ἵνα |
| | πλοιάριον προσκαρτερῇ αὐτῷ διὰ τὸν |
| | ὄχλον ἵνα μὴ θλίβωσιν αὐτόν· |
| καὶ ἐθεράπευσεν αὐτοὺς πάντας | **10** πολλοὺς γὰρ ἐθεράπευσεν, |
| | ὥστε ἐπιπίπτειν αὐτῷ |
| | ἵνα αὐτοῦ ἅψωνται |
| | ὅσοι εἶχον μάστιγας. |
| | **11** καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα, ὅταν |
| | αὐτὸν ἐθεώρουν, προσέπιπτον αὐτῷ καὶ |

| | |
|---|---|
| **16** καὶ ἐπετίμησεν αὐτοῖς<br>ἵνα μὴ φανερὸν αὐτὸν<br>ποιήσωσιν,<br>**17** ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ<br>Ἠσαΐου τοῦ προφήτου λέγοντος,<br>**18** Ἰδοὺ ὁ παῖς μου ὃν ᾑρέτισα, ὁ<br>ἀγαπητός μου εἰς ὃν εὐδόκησεν ἡ ψυχή<br>μου· θήσω τὸ πνεῦμά μου ἐπ' αὐτόν, καὶ<br>κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ.<br>**19** οὐκ ἐρίσει οὐδὲ κραυγάσει, οὐδὲ<br>ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν<br>αὐτοῦ.<br>**20** κάλαμον συντετριμμένον οὐ κατεάξει<br>καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἂν<br>ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν.<br>**21** καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. | ἔκραζον λέγοντες ὅτι Σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ.<br>**12** καὶ πολλὰ ἐπετίμα αὐτοῖς<br>ἵνα μὴ αὐτὸν φανερὸν<br>ποιήσωσιν. |

Matthew: 103 – 10 = 93 Mark: 112 – 9 = 103 Identical: 24/196 = 12.24%